www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς.

*Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.*

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὡς τῆς πίστεως θήραμα, καὶ Μαρτύρων γεώργιον, Ἀθλητὰ Θεόκλητε εὐφημοῦμέν σε· σὺ γὰρ τῆς θείας χρηστότητος εὐθέτως γευσάμενος, στρατιώτης ἀρραγής, τοῦ Χριστοῦ ἐχρημάτισας. Ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς τελοῦντας ἐτησίως, τὴν ἀεισέβαστον μνήμην σου.

Ὡς ἑώρακας ἔνδοξε, εὐσεβείας τὴν δύναμιν, τοῖς τοῦ Λόγου Μάρτυσι θριαμβεύουσαν, τὴν τῶν εἰδώλων ἀσθένειαν, λαμπρῶς ἐθριάμβευσας, ἐν ἰσχύϊ θεϊκῇ, καὶ τήν θείαν ἀλλοίωσιν, ὡς ὑπέρλαμπρον, βεβαμμένην αἱμάτων ταῖς ῥανίσι, στολισάμενος πορφύραν, Χριστῷ παρέστης Θεόκλητε.

Ὥσπερ βότρυν οὐράνιον, γεωργίᾳ τοῦ Πνεύματος, ὁ πικρῶς διώκτης σε ἀπετρύγησε, τῆς θεϊκῆς ἀγαθότητος, τὸν οἶνον τὸν πέπειρον, γεωργοῦντα δαψιλῶς, καὶ πται-

www.tezaurliturgic.ro

σμάτων τὴν ἄφεσιν πρυτανεύοντα, ταῖς ἀλήκταις σου Μάρτυς ἱκεσίαις, πρὸς Χριστὸν τὸν στεφοδότην, τοῖς σὲ τιμῶσι Θεόκλητε.

*Ἕτερα στιχηρὰ Προσόμοια.*

*Ἦχος ὁ αὐτός. Ὁ ἐξ ὑψίστου κληθείς.*

Ὁ φωτισθεὶς ταῖς τοῦ Πνεύματος ἀκτῖσι, ὅτε τὴν σωτήριον, χάριν ἠγνόησας, γνόφῳ τῆς πλάνης κρατούμενος, καὶ ἐκπειράζειν, δι᾽ ἀγνωσίαν τὸν Λόγον ἔσπευδες, τότε τὸ πολύτιμον εὗρες συνάλλαγμα, διὰ φαρμάκων τὸν ἥδιστον, γλυκασμὸν ὄντως, τῆς εὐσεβείας ἀνταλλαξάμενος· οὗπερ τῇ γεύσει τὴν κατάπικρον, ἁμαρτίας ἐμέσας Θεόκλητε, ὑπὲρ μέλι γλυκάζον, κατευφραίνεις τὰς ψυχὰς ἡμῶν.

Ἐν τῇ κλήσει τὴν πρᾶξιν ὑπεμφαίνων, ὅτε πρὸς ἐπίγνωσιν, τοῦ ἀναβλύζοντος, διὰ Σταυροῦ δόξαν ἄρρητον, σοφῶς ἐκλήθης, δι᾽ Ἀθλοφόρων μυσταγωγούμενος, τότε τὴν ζωήρρυτον φλόγα εἰσδέδεξαι, ὑφ᾽ ἧς ἐνθέως πυρούμενος, τὴν τῆς μαγείας, μάταιον ὕλην πυρὶ παρέδωκας, καὶ υἱὸς ὤφθης θείῳ Πνεύματι, τοῦ ἐκ σκότους πρός φῶς σὲ καλέσαντος. Ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ τῶν Μαρτύρων τοῖς ἄθλοις κοινωνήσας, ὅτε τὴν ὀκτάριθμον, τούτων συνέλευσιν, ὧν Φωτεινὴ ἡ ἀήττητος, πρότυπον ὤφθη, τῇ ἀλλοιώσει σου χαρᾶς ἔπλησας, τότε καὶ προήρπασας νίκης τὸν στέφανον, ξίφει τμηθεὶς τὸν αὐχένα σου, πρὸ τούτων Μάρτυς, καὶ διακόψας ἐχθρῶν τὰς φάλαγγας· καὶ νῦν σὺν τούτοις ἀγαλλόμενος, ἐν σκηναῖς ἀϊδίοις Θεόκλητε, σὺν αὐτοῖς ἐκδυσώπει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος πλ. β'.*

Ἐθαυμαστώθη Χριστέ, τὸ κράτος τῆς χάριτός σου, ἐν τοῖς Ἁγίοις Ἀθληταῖς· ὅτι ὡς ἱκέτην γνήσιον, τὸν τέως πολέμιον, θαυμαστῶς σοι παρέστησεν· ὁ γὰρ φερωνύμως Θεόκλητος, ὁ τοὺς ἀμφὶ Φωτεινὴν χειρώσασθαι βουλευσάμενος, τῆς θείας βουλῆς σου, δι' ἐνεργείας ἀρρήτου, τὸν ὅρον ἐμυήθη· σὲ γὰρ τὸν δρασσόμενον τοὺς σοφούς, ἐν τῇ πανουργίᾳ αὐτῶν, Θεὸν ἀληθῆ ἐγνώρισε, καὶ τοῖς μὴ εἰδόσι σὲ ἐκήρυξεν. Ἀλλ' ὁ τὸν Ἀθλητήν σου στεφανώσας, καὶ παρὰ σοι δοξάσας, παράσχου καὶ ἡμῖν, ταῖς αὐτοῦ πρεσβείαις, εἰρήνην καὶ μέγα ἔλεος.

*Καὶ νῦν. Ὁ αὐτός.*

Τὶς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τὶς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.*
*(Κεφ. μγ', 9-14).*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρ-

www.tezaurliturgic.ro

τυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός; καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. γ', 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. ε', 15-23, στ', 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο

www.tezaurliturgic.ro

λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, *Ἰδιόμελα. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ, εὐφροσύνην ἀΐδιον, Ἀθλοφόρε Θεόκλητε· σὺ γὰρ τοῦ θείου προορισμοῦ, τῇ διὰ τῆς ἀριδήλως τελεσθείσης δυνάμεως, οὐκ ἐκώφευσας φωνῇ, ἀλλὰ τῆς οὐρανίου κλήσεως, τὸ βραβεῖον ἔσπευσας λαβεῖν· εἰς ἴαμα γὰρ ὤφθη σοι, ὡς δρόσος οὐράνιος, ἡ τοῦ ἰοῦ τοῖς Μάρτυσι πόσις· ὅθεν τοῦ ἁλλομένου ὕδατος, ὡς ἔλαφος διψῶσα τρυφήσας, μεγαλοφώνως κράζεις. Μέγας εἶ Κύριε, ἐν ταῖς ἐπαγγελίαις σου, καὶ τίς ὁμοιωθήσεταί σοι, ἐν τοῖς κατὰ χάριν υἱοῖς σου; δι᾽ ὧν κἀγώ, τῆς παρὰ σοι υἱοθεσίας τυχών, τῶν ἀνεξιχνιάστων κριμάτων σου, μεγαλύνω τὸ μέγεθος.

www.tezaurliturgic.ro

*Ἦχος β΄.*

Μαρτυρικῆς πεπειραμένος πίστεως, δικαιοσύνης τὸν καρπὸν ἐτρύγησας, παμμάκαρ Θεόκλητε· ὡς πίων γὰρ γῆ καὶ ἀγαθή, τὸν οὐράνιον σπόρον δεξάμενος, θεογνωσίαν ἐκαρποφόρησας, ἀνακαινισθεὶς τῷ Πνεύματι· ὅθεν ὡς φοῖνιξ ὑψίκομος, παρ' ὕδασιν ἀθλητικοῖς διευθυνήσας, πανευπρεπῶς ἐξήνθησας, ἐν ταῖς αὐλαῖς τοῦ σὲ δοξάσαντος.

*Ἦχος γ΄.*

Τὶς μὴ θαυμάσει, ἢ τὶς μὴ ἐπαινέσει, τὴν πρὸς τὸ κρεῖττον σου ἀθρόαν ἀλλοίωσιν Ἀθλοφόρε Θεόκλητε; Σὺ γὰρ ἐν τῇ ἐκλάμψει τῶν ἔργων τοῦ Χριστοῦ, δι' ὧν Μάρτυρες ἠρίστευσαν, τῆς ἀϊδίου γνώσεως, προσελάβου τὴν ἔλλαμψιν, τὴν ἀγνωσίαν ἀφέμενος. Μακάριος σὺ εἶ, ὅτι τῆς κατ' ἐπαγγελίαν δωρεᾶς, τὰς ἐνεργείας ἐθησαύρισας, στρατευθεὶς τῷ σὲ καλέσαντι. Ἀλλὰ καὶ ἡμῶν μέμνησο, ἐν τῇ ἀπολαύσει δόξης τῆς κρείττονος.

*Ἦχος δ΄.*

Ὡς θαυμαστή σου ἡ πρόνοια Σῶτερ! ὡς πλουσιόδωρος τῆς οἰκονομίας σου ἡ χάρις! Σὺ γὰρ τοῖς ἐπὶ γῆς συναναστραφείς, τὰ διεστῶτα ἥνωσας, εἰρήνην τοῖς πᾶσιν εὐαγγελισάμενος· ἔνθεν τὸ κράτος τῆς πίστεώς σου, τοὺς πρώην μὲν διώκτας, οἰκείους σοι θεράποντας ἀνέδειξε, καὶ τοὺς ἀσθενεῖς τῇ φύσει, ἀρραγεῖς ἐν ἄθλοις εἰργάσατο. Ἀλλ' ὡς ἐκ πάντων, μίαν ἀποτελέσας Ἐκκλησίαν, δώρησαι ἡμῖν, Θεοκλήτου λιταῖς τοῦ σοῦ Μάρτυρος, εἰρήνην καὶ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἡ φερώνυμος κλῆσις σου, τὸ τελεσθὲν ἐν σοι μυστήριον, ἀριδήλως ἐμφαίνει· σὺ γὰρ πρὸς γνῶσιν ἔνθεον, δι'

www.tezaurliturgic.ro

ἀθλητικῶν θαυμάτων, ἐκλήθης Θεόκλητε. Χριστὸς γάρ ἐν σοι διακύψας, τῆς οἰκείας ἀγαθότητος, ἐξεκάλυψε τὸ ἔλεος· ὅθεν ἐβόας χαίρων: Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, ὁ δωρούμενος πᾶσι, ζωὴν τὴν αἰώνιον.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.*

*Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ καταλλήλως κληθείς, ὡς κεκλημένος πρὸς ἀείζωον μέθεξιν, καὶ θείαν υἱοθεσίαν, δι' ἐπιπνοίας Χριστοῦ, τῆς θριαμβευούσης ἐν τοῖς Μάρτυσι· τὸ τούτων γὰρ εὔτονον, διαλῦσαι προθέμενος, δεσμῶν τῆς πλάνης, ὑπὲρ ἔννοιαν λέλυσαι, καὶ συνέδησας, σεαυτὸν θείῳ Πνεύματι· πίστις γὰρ ἡ οὐράνιος, ἡ κόσμον νικήσασα, δι' ἐναντίων τὴν νίκην, θεουργικῶς σοι ἐβράβευσε, Θεόκλητε μάκαρ· διὰ τοῦτο τῶν Μαρτύρων ὤφθης ἰσότιμος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει,
καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ὕδωρ τὸ διαυγὲς τῆς ζωῆς, ἀθανασίας τὸν χειμάρρουν τὸν ἄϋλον, ἐκ φρέατος ἀκενώτου, ἡ Σαμαρεῖτις πιστῶς, δαψιλείᾳ γνώμης ἀπαντλήσασα, τὸν ὄμβρον τῆς χάριτος, θαυμαστῶς σοι ἐπώμβρισεν, οἷα νεφέλη, λογικὴ καὶ θεόδροσος, ἀνθ' ἧς πόσεως, φαρμακείας Θεόκλητε· ὅθεν Μαρτύρων ἤνεγκας, τὴν δόξαν τὴν ἄρρητον, ὁμολογήσας ἐνθέως, τὸ ὑπὲρ πᾶν θεῖον ὄνομα. Χριστοῦ τοῦ Σωτῆρος, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

Στίχ. Θαυμαστὸς ὁ ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἔφθης τοῦ ὀκταρίθμου χοροῦ, τῶν ἀστραψάντων ἀριστείαις ἀθλήσεως, ἐκτύπωμα στερρᾷ γνώμῃ, καὶ ἐμφανὴς χαρακτήρ, καὶ λαμπρὸν θεόφρον φωταγώγημα· τὴν ἄνωθεν χάριν γάρ, μυστικῶς ἐκφανθεῖσαν σοι, θείᾳ βουλήσει, δι' αὐτῶν ὡς θεόσδοτον, ἐθησαύρισας, μαργαρίτην Θεόκλητε· ὅθεν καὶ κατετρύφησας, τῆς θείας ἐλλάμψεως, ὡς κοινωνὸς τοῦ θανάτου, τοῦ τὴν ζωὴν σοι βραβεύσαντος. Αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ'.*

Μαγικὴν βδελυξάμενος τερθρείαν, Τριαδικὴν ἐμυήθης λαμπρότητα· τῶν Ἀθλητῶν ζηλώσας τὴν ἀνδρείαν, μαρτυρικῶς ἐν Χριστῷ ἠνδραγάθησας· καὶ τὸ αἷμα σου δι' αὐτὸν ἐκχέας, τῆς ἀφθαρσίας ἐπορίσω τὴν πηγήν. Οὗτος ὁ ἀγών σου Θεόκλητε, αὕτη ἡ πρὸς Θεόν σου προσφορά· ἀνθ' ἧς τὸ πέρας τῆς ἐν ἀνθρώπῳ, πλουτήσας δωρεᾶς, μὴ παύσῃ ἱλεούμενος ἡμῖν, τὸν μόνον εὔσπλαγχνον.

*Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.*

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος γ'. Μέγαν εὕρατο.*

Ὅτε ἔλαμψεν Χριστὸς ἐν κόσμῳ καὶ κατέλυσε δαιμόνων πλάνην, ὡς τὸν Παῦλον ἀγαπήσας Σὲ εἱλκύσατο, ἐκ μαγείας, Σαμαρείτιδος δεήσεσι, μαρτυρίου τε τοῖς

www.tezaurliturgic.ro

αἵμασιν ἡγίασε. Μάρτυς ἔνδοξε καὶ ἀθλητὰ Θεόκλητε, τοῖς ἐκτελοῦσιν εὐσεβῶς τὴν μνήμην σου, παράσχου σαῖς πρεσβείαις, τὸ μέγα ἔλεος.

*Δόξα· ἕτερον.*

*Ἦχος γ'. Θείας πίστεως.*

Θείας πίστεως, τὰς λαμπηδόνας, τρόπῳ κρείττονι, εἰσδεδεγμένος, τῆς οὐρανίου ἠξίωσαι κλήσεως· σὺ γὰρ ἐκ σκότους ἐκλάμψας Θεόκλητε, τῶν Ἀθλοφόρων ἐδρέψω τὴν εὔκλειαν. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*